ὑπατείαν⟩ ἐκάλουν αὐτὸν οὐκ ἐκείνῳ χαριζόμενοι, ἀλλ᾽ ὡς Καρχηδόνα δι᾽ ἐκείνου ταχὺ καὶ ῥᾳδίως ληψόμενοι.

5. Ἐπεὶ δὲ παρελθὼν εἰς τὸ τεῖχος, τῶν Καρχηδονίων ἐκ τῆς ἄκρας ἀμυνομένων, **† μὴ σὺ τὴν διὰ μέσου θάλασσαν οὐ πάνυ βαθεῖαν οὖσαν· τοῦ Πολυβίου συμβουλεύοντος αὐτῷ κατασπεῖραι τριβόλους σιδηροῦς ἢ σανίδας ἐμβαλεῖν κεντρωτάς, ὅπως μὴ διαβαίνοντες οἱ B πολέμιοι προσμάχωνται τοῖς χώμασιν, ἔφη γελοῖον εἶναι κατειληφότας τὰ τείχη καὶ τῆς πόλεως ἐντὸς ὄντας εἶτα πράττειν ὅπως οὐ μαχοῦνται τοῖς πολεμίοις.

6. Εὑρὼν δὲ τὴν πόλιν ἀνδριάντων Ἑλληνικῶν καὶ ἀναθημάτων ἀπὸ Σικελίας μεστὴν οὖσαν, ἐκήρυξε τοὺς ἀπὸ τῶν πόλεων παρόντας ἐπιγινώσκειν καὶ κομίζεσθαι.

7. Τῶν δὲ χρημάτων οὔτε δοῦλον οὔτ᾽ ἀπελεύθερον εἴα λαβεῖν οὐδένα, ἀλλ᾽ οὐδὲ πρίασθαι πάντων ἀγόντων καὶ φερόντων.

8. Γαΐῳ δὲ Λαιλίῳ τῷ φιλτάτῳ τῶν ἑταίρων ὑπατείαν μετιόντι συμπράττων ἐπηρώτησε Πομπήιον εἰ καὶ αὐτὸς C ὑπατείαν μέτεισιν· ἐδόκει δ᾽ ὁ Πομπήιος υἱὸς αὐλητοῦ γεγονέναι· τοῦ δὲ φήσαντος μὴ μετιέναι, ἀλλὰ καὶ τὸν Λαίλιον ἐπαγγελλομένου συμπεριάξειν καὶ συναρχαιρεσιάσειν, πιστεύσαντες καὶ περιμένοντες ἐκεῖνον ἐξηπα-